# Euripide, Elena

ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ᾽ ἔπτατ᾽ εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ᾽ ὄρνιθος λαβών,

ὃς δόλιον εὐνὴν ἐξέπραξ᾽ ὑπ᾽ αἰετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος·
Ἑλένη δ᾽ ἐκλήθην. ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ᾽ ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν᾽ Ἀλέξανδρον πάρα,

Ἥρα Κύπρις τε διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ᾽ ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ. λιπὼν δὲ βούσταθμ᾽ Ἰδαῖος Πάρις

Σπάρτην ἀφίκεθ᾽ ὡς ἐμὸν σχήσων λέχος.

Ἥρα δὲ μεμφθεῖσ᾽ οὕνεκ᾽ οὐ νικᾷ θεάς,
ἐξηνέμωσε τἄμ᾽ Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ᾽ οὐκ ἔμ᾽, ἀλλ᾽ ὁμοιώσασ᾽ ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ᾽ ἄπο,

Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ᾽ ἔχειν--
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ᾽ αὖ Διὸς
βουλεύματ᾽ ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν

πλήθους τε κουφίσειε μητέρα χθόνα
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ᾽ ἐς ἀλκὴν προυτέθην ἐγὼ μὲν οὔ,
τὸ δ᾽ ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ᾽ Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος

νεφέλῃ καλύψας--οὐ γὰρ ἠμέλησέ μου
Ζεύς--τόνδ᾽ ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,
ἀκέραιον ὡς σῴσαιμι Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ᾽ εἴμ᾽, ὁ δ᾽ ἄθλιος πόσις

στράτευμ᾽ ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾷ πορευθεὶς Ἰλίου πυργώματα.

ψυχαὶ δὲ πολλαὶ δι᾽ ἔμ᾽ ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ᾽ ἐγὼ
κατάρατός εἰμι καὶ δοκῶ προδοῦσ᾽ ἐμὸν

πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί δῆτ᾽ ἔτι ζῶ; θεοῦ τόδ᾽ εἰσήκουσ᾽ ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντος ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ᾽ ὑποστρώσω τινί.

ἕως μὲν οὖν φῶς ἡλίου τόδ᾽ ἔβλεπεν
Πρωτεύς, ἄσυλος ἦ γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ᾽ ἐγὼ πόσιν
τιμῶσα Πρωτέως μνῆμα προσπίτνω τόδε

ἱκέτις, ἵν᾽ ἀνδρὶ τἀμὰ διασῴσῃ λέχη,
ὡς, εἰ καθ᾽ Ἑλλάδ᾽ ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ᾽ ἐνθάδ᾽ αἰσχύνην ὄφλῃ.